καὶ τῶν μακαρισμῶν καταξιοῖ αὐτόν. καὶ μακάριος αὐτός, ὃς τὴν σοφίαν ἐκτήσατο. καὶ ὃς τὴν σύνεσιν αὐτοῦ διαφυλάξει. καὶ τὰ λοιπά περὶ τῆς ἀληθοῦς σοφίας καὶ τῶν ταύτης ἐρασμίων. περὶ δὲ τῆς ψευδωνύμου, καὶ τῶν αὐτῆς διδασκάλων, ὡς φησὶν ὁ ἀπόστολος. ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστι. γέγραπται γάρ· ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. καὶ πάλιν· κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι. καὶ φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν. καὶ γέγραπται· ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν. καὶ βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου. ὡσαύτως δὲ καὶ ὁ σοφὸς Σολομῶν, φησὶ περὶ αὐτῶν· μάταιοι μὲν γὰρ φύσει, οἷς παρῆν θεοῦ ἀγνωσία. καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα. οὔτε τοῖς ἔργοις προσέχοντες, ἐπέγνωσαν τὸν τεχνίτην. ἀλλ' ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα, ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ, ἢ φωστῆρας οὐρανοῦ, πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν. καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται, ζητοῦντες καὶ θέλοντες εὑρεῖν. ἐν γὰρ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν ἀναστρεφόμενοι, διερευνῶσι. ταλαίπωροι δέ, καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν. καὶ σποδὸς ἡ καρδία αὐτῶν. καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν. καὶ πηλοῦ ἀτιμότερος ὁ βίος αὐτῶν. ὅτι ἠγνόησαν τὸν ποιήσαντα αὐτούς:

Βασιλείου ἐκ τοῦ εἰς τὴν ἀρχὴν τῶν παροιμιῶν. ὁ λόγος εἰς τὸ τυχεῖν, καὶ τὰ λοιπά. ὡς σοφίστερον:

Ἡ μὲν οὖν ἔφη ἡ προφῆτις δεσποτικὴ ἀγαπητὴ ἀγαπωμένη τῇ ἀφροσύνῃ. ἡ πορνεία. ὁ φθόνος, καὶ ἡ ἀλαζονεία. αὗται αἱ ...